Τȣγγέσιοι.
Βογέλοι.
Λάπποvες.
Φίνοι.
Λατόνιοι.
Ἐςόνιοι.
Λιέφοι.
Ἴγγριοι.
Τζερεμίσοι.
Τζȣβάχοι.
Μορδβῖνοι.
Βοτιάκοι.
Τερπτιαῖροι.
Ταρτάροι τȣ̃ Καζὰν κ̀ Ὄρεμβȣργ.

Ταρτάροι Τοβόλσκοι
Ταρτάροι Τόμσκοι.
Ταρτάροι Νογάϊοι.
Ταρτάροι τȣ̃ Ὄβυ.
Ταρτάροι τȣ̃ Ἐχȣλυμ.
Ταρτάροι τȣ̃ Καλχίντζοι.
Τελέυτιοι.
Ἀβίντζιοι,
Βιρυȣ́σσοι.
Καζάκοι.
Κȣρίλιοι.
Ταρτάροι τȣ̃ Κίςιμ, κ̀ Τέλιβερτ.

Ταρτάροι τȣ̃ Βέργο.
Τόμσκοι.
Ταρτάροι Σαϋȣνοι.
Τȣραλίνζιοι.
Βȣγχάριοι.
Βασκίροι.
Μεςχέριοι.
Βαραβίνζιοι.
Κίργȣοι.
Βερτίροι.
Ὑακȣ́τοι.
Καμτζάτζκιοι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

## Περὶ τῆς Πρȣσίας. (Η)

§. 442. Ὑγειινὸς μὲν ὁ ἐν τῇ Πρȣσίᾳ ἀὴρ, κἂν ἐπὶ τὸ ψυχρὸν ῥέπῃ· καρποφόρος δὲ ἡ γῆ, ἁπάντων εὐπορȣ̃σα, ὥςε μηδένα πρὸς τὸ εὐτυχῶς ζῆν πλȣ́τȣ δεῖσθαι.

§. 443. Δȣκᾶτον ἦν πρότερον ἡ Πρȣσία, Βασιλείαν δὲ αὐτὴν ἀνεκήρυξε κατὰ διαδοχὴν προαγομένην ἔτει ἀπὸ Χριςȣ̃ 1706· ὁ Αὐτοκράτωρ Λεοπόλδος, τῷ τȣ̃ Βρανδεβȣ́ργȣ Αἱρέτῃ, Φριδερίκῳ τῷ Γʹ. χαριζόμενος. (α) ἔςι δὲ ἡ ἐν αὐτῇ διοίκησις μοναρχική.

§. 444. Κυριεύει μὲν ἐν τῇ Πρȣσίᾳ, ἡ τȣ̃ Καλ-

(α) Ἀνȣκηρύχθη Βασιλεὺς τῷ 1700 Φριδερίκος ὁ Αʹ. ὑπὸ Ἰωσὴφ τȣ̃ Αʹ. Αὐτοκράτορος.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΙΔ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εξ Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

βίνου, ϗ τοῦ Λουθήρου θρησκεία, ἐπιτρέπεται δὲ παντὶ ἔθνει ἀκωλύτως ἐπιτελεῖν τὰ τῆς αὐτοῦ θρησκείας, μηδὲ τῆς προαιρέσεως τινὸς βιαζομένης.

§. 445. Ἡ Πολεμικὴ παιδεία ϗ ἡ ἐν τοῖς τακτικοῖς ἐπιτηδειότης πάντων τῶν ἄλλων ἐθνῶν ἐξαιρεῖ τοὺς Προύσους.... Εἰσὶ δὲ οἱ αὐτοὶ ϗ εὐπροσήγοροι, ϗ νοήμονες, ϗ πασῶν θεραπευταὶ τῶν ἐπιστημῶν, ϗ τεχνῶν.

§. 446. Τῶν μὲν τῆς Προυσίας οἰκιστῶν ὁ ἀριθμὸς ἀνεισι ἐπὶ τὰς 800,000· ἁπάντων δὲ τῶν ὑπὸ τοῦ Κράτος τοῦ Βασιλέως τῆς Προυσίας, ὑπερέχει τῶν 3,000,000· τὸ δὲ Εὔτακτον τῆς Βασιλείας στρατόπεδον, τὸ διὰ παντὸς ἔνοπλον ἴσον 160,000. (α)

§. 447. Διαιρεῖται ἡ Προυσία εἰς μέρη 2.

1. Εἰς τὴν Πολωνικὴν Προυσίαν, ϗ
2. Δουκικὴν Προυσίαν, τὴν καλουμένην τὰ νῦν, Βασιλείαν τῆς Προυσίας.

Τούτων ἡ μὲν πολωνικὴ Προυσία ὑποδιαιρεῖται εἰς ἐπαρχίας 4.

1. Εἰς τὴν μικρὰν Πομερανίαν, Pomeranie.
2. Κουλμίαν χώραν, le territoire de Culm.
3. Τοῦ Μαριενβούργου, Marienbourg.
4. Βερμελανδίαν, Wermeland, ἢ Ἑρμελανδίαν, Ermeland.

Ἡ δὲ Δουκικὴ Προυσία, εἴτουν ἡ Βασιλεία τῆς Προυσίας εἰς 3 μεγάλους κύκλους.

1. Τὸν τῆς Σαμλανδίας, Samland, τὸν ὑποδιαιρούμενον εἰς χώρας 3.

---

(α) Ἡ στρατιωτικὴ δύναμις τῆς Προυσίας εἶναι 250 000, ϗ κατὰ τὸν Βύσχιγγ Γερμανὸν Γεωγράφον εἰς καιρὸν ἀνάγκης ἠμπορεῖ νὰ φθάσῃ ἕως 634,998.

Εἰς τὴν Σαμλανδίαν, Samland.
Ἐσκλαβονίαν, Esclavonie, ϗ
Εἰς τὴν Ναρδῶ, Nardan.
2. Εἰς τὸν κύκλον τῆς Ναταγγίας, Natangea, τὸν περιέχοντα.
Τὴν Ναταγίαν, Natang.
Βαρτενίαν, Barten, ϗ
Σέδιν, Sudin, ἢ Σεδαυΐαν.
3. Εἰς τὸν κύκλον τῆς Ὀκερλανδίας, Ockerland, ἐν ᾧ
Ἡ Γαλινδερλανδία, Galinderland.
Πομεσανία, Pomesanie, ϗ
Πογεσανία, Pogesanie, ἢ ἡ κυρίως Ὀκελανδία, Ockerland.

§. 448. Πόλεις ἐν τῇ Πρεσίᾳ πρωτεύουσαι, παραθαλάσσιοι, ϗ αἱ ἐμπορικαὶ 14.

1. Ἡ Δάντζικα, Danstie, ἢ Δάντισκον, ἢ Γέδανον πόλις παραθαλάσσιος, ϗ τῶν ἐν τῇ Πολωνικῇ Πρεσίᾳ ἐμπορικωτέρα, πρότερον μὲν ἐλευθέρα ϗ αὐτοκρατορικὴ, νῦν δὲ ὑπὸ τὴν τοῦ Βασιλέως τῆς Πολωνίας προστασίαν.
2. Ἡ Κονιγσβεργία, Königsberg, ἢ ϗ Μονσρέγιος, ἢ Ῥεγιομόνς καλεμένη, πόλις πρωτεύεσα, παραθαλάσσιος, ϗ ἐμπορικωτέρα τῶν ἐν τῇ Βασιλείᾳ τῆς Πρεσίας.
3. Τὸ Μαριένβεργον, Marienbourg.
4. Ἡ Ἐλβιγγία, Elbing.
5. Κελμία, Culm.
6. Τὸ Θόρν, ἢ Τορὺ, Thorn.
7. Ἡ Βραυνσβέργα, Braunsberg.
8. Εἴλσβεργα, Heilsberg, ἐν τῇ Πολωνικῇ Πρεσίᾳ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

9. Ἡ Πιλλοβία, Pillau, πόλις παραθαλάσσιος ἐπὶ τῦ ἐπιςομίῳ τῦ Πρέγελ ποταμῦ κειμένη.
10. Μέμελ, Memel, ὡσαύτως ἐν τῇ Βαλτικῇ θαλάσσῃ, πρὸς τὸ ἔσχατον βόρειον τῆς Σκλαβωνίας πέρας.
11. Ἐλλιγενβεϊλία, Heiligenbeil, ἐν τῇ Ναταγγίᾳ.
12. Βαρτενςεῖνα, Bartenstein.
13. Σκαλφελδία, Saalfeld, ἐν τῇ Πομεσενίᾳ, καὶ
17. Ὀλλάνδ, Holland, ἐν τῇ Ὀκαρλανδίᾳ· ἅπασαι δὲ ἐν τῇ Βασιλείᾳ τῆς Πρυσίας.

§. 449. Λίμναι δὲ ἐν τῇ Πρυσίᾳ μεγάλαι 2.

1. Ἡ Κυρισχαφία, Carisch-Haff, ἐν τῇ Σαμλανδίᾳ, καὶ
2. Φρισχαφία, Frisch-Haff, ἐν τῇ τῦ Μαριενβέργυ ἐπαρχίᾳ.

§. 450. Ποταμοὶ δὲ μεγάλοι 3.

1. Ὁ Οὐϊςυλας, Vistule, ὁ τὴν μικρὰν Πομερανίαν καὶ Μαριένβυργον ποτίζων, καὶ εἰς τὴν Βαλτικὴν εἰσιὼν θάλασσαν.
2. Πρέγελ, Bregel, ὁ τῆς Σαμλανδίας τὸν κύκλον τῦ τῆς Ναταγγίας ἀποχωρίζων.
3. Νιέμεν, Niemen, ἢ Μίμελ, Mimel, ὁ ἐν τῇ Σκλαβωνίᾳ.

§. 451. Χερσόννησος δὲ ἐν τῇ Βαλτικῇ θαλάσσῃ 2.

1. Ἡ Κυριχνεριγγία, Carisch-Nering, ἡ τῇ Σαμλανδίᾳ συνεχομένη, καὶ
2. Φριχνεριγγία, Frisch-Nering, ἡ τῇ μικρᾷ συνεχομένη Πομερανίᾳ.

§. 452. Ὅρια δὲ τῆς Πρυσίας, κατὰ μὲν Δυσμὰς, ἡ Γερμανία, κατὰ δὲ Νότον καὶ Ἀνατολὴν ἡ Πολωνία, κατὰ δὲ Ἄρκτον ἡ Βαλτικὴ θάλασσα.

§. 453. Τῶν δὲ ἐπ' εὐθείας αὐτῆς ἐκτάσεων, ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΤΕΣ.Δ της Κ.Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὲν κατὰ μῆκος, ἡ μεγίςη, ἡ ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν, ἴση μιλίοις 60· ἡ δὲ κατὰ πλάτος ἡ ἀπὸ Νότȣ πρὸς Βοῤῥᾶν 45.

§. 454. Τὸ μὲν Μῆκος αὐτῆς κεῖται μεταξὺ τῆς 34, ϗ 42½ μοίρας· τὸ δὲ πλάτος, μεταξὺ τῆς 52½, καὶ 57.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΣΗΜΕΙΩΣΙΣ.

### (Η) Νεωτερικὴ Διαίρεσις τῆς Πρȣσίας.

| | Κύκλοι. | Ἐπαρχίαι. | Πόλεις πρωτεύ. |
|---|---|---|---|
| ΠΟΛΟΝΙΑ. | Πρȣσ. Ἀνατολ. | κυρίως Πρȣσία . | Καίνιγσβεργ. |
| | | Λιθȣανία μικρ. | Γȣμβιννεν. |
| | Πρȣσ. Δυτικ. | Νέτζε . . . . | Μαριεν-Βέρδεν, Βρόμβεργ. |
| | Τὸ μέρος ὅπȣ ὑπετάχθη τῷ 1793, ϗ 1795. | Πόσεν, ἢ Ποσνανία. | Πόσεν. |
| | | Καλίσχ . . . | Καλίσχ. |
| | | Βαρσαυία . . . | Βαρσαυία. |
| | | Βιαλυςὸκ . . . | Βιαλυςοκ. |
| | | Πλόκτζο . . . | Πλόκτζο. |
| ΓΕΡΜΑΝΙΑ. | Ἐν τῇ Βοεμίᾳ . . | Γλάτζ . . . | Γλάτζ. |
| | | Σιλεσία , . . | Βρεσλάȣ. |
| | | Λȣσάσα . . . | Κότβȣς. |
| | Ἀνωτ. Σαξων. . | Βράνδεβȣργ . . | ΒΕΡΛΙΝ. |
| | | Πομερανία . . | Στέτιν. |
| | | Ἄλλα . . . . | Ἄλλα. |
| | Κατωτ. Σαξων. | Μαγδεβȣ̀ργ . . | Μαγδεβȣ̀ργ. |
| | | Ἄλβερςαδτ . . | Ἄλβερςαδτ. |
| | Φραγκονία . . | Βάρεϋθ . . . | Βάρεϋθ. |
| | | Ἄνσπαχ . . . | Ἄνσπαχ. |

Ε.Υ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

| | | |
|---|---|---|
| Βεςφαλία . . | Μίνδεν . . . | Μίνδεν. |
| | Ῥάουενσβεργ . . | Ῥάουενσβεργ. |
| | Τέκλενβεργ . . | Τέκλενβεργ. |
| | Λίγγεν . . . | Λίγγεν. |
| | Κλέυες . . . | Κέβες. |
| | Μέρος ἔλαβεν ἡ Γαλλία. | |
| | Μοὲρς . . . . | Μέουρς. |
| | Μέρος ἔλ. ἡ Γαλ. | |
| | Μάρκ . . . . | Μάρκ. |
| | Ὄςφρισχ. . . . | Ἅμ. |
| | Μέρος τῆς Λίππου. | Ἀουρίσχ. |
| | Γουέλδρε . . . | Γουέλδρου. |
| | Μέρος ἔλ. ἡ Γαλ. | |
| Ἐλβετία . . . . | Νέουσιάτελ . . | Γουέλδρε. |
| | Βαλενγγὶν . . . | Νέουσιάτελ. |

| ἜΚΤΑΣΙΣ. | | | ΘΕΣΙΣ. |
|---|---|---|---|
| κατὰ μῆκος | 95 μίλ. | μεταξὺ | τοῦ 34°, καὶ 41° τοῦ μήκους. |
| κατὰ πλάτος | 75 | | 53, καὶ 56 τοῦ πλάτους. |

περιέχουσα 2,500 μίλια τετραγωνικά.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

## Περὶ τῆς Πολωνίας, ἤτοι Λεχίας. (Θ)

Λεχία ἐκλήθη ἀπὸ τοῦ Λέχου τοῦ ἄρξαντος τῆς μείζονος πολωνίας ἔτει 550, ἀπὸ Χριςοῦ τοῦ Σωτῆρος.

§. 455. Μέρος τῆς παλαιᾶς Σαρματίας ἐςὶν ἡ Πολωνία, ἧς ψυχρὸς μὲν καὶ καθαρὸς ὁ ἀὴρ, σπερματοφόρος δὲ ἡ γῆ καὶ ζωοτρόφος. Περιεῖχεν ἡ παλαιὰ Σαρματία μέρος τῆς Μολδαυΐας, τὸ μεταξὺ τοῦ Πύρα, τοῦ Ἴςρου, καὶ τοῦ Ἱερασοῦ ποταμοῦ· μέρος τῆς Οὐγγαρίας τὸ μεταξὺ τοῦ Πατισσοῦ, καὶ τοῦ Ἴςρου· τὸ βασίλειον τῆς Πολωνίας τὸ προσωτέρω τοῦ Οὐϊςούλα ποταμοῦ· τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ρ.Ν.Φ. της Ε.Ν.Π. ΙΩΑΝΝΙΝΑ 2006

Πρυσίαν, τὴν Λιβονίαν, τὴν λευκὴν Ῥωσσίαν, ἤτοι τὸ βασίλειον τῆς Μοσκοβίας, ϗ μέρος τῆς μικρᾶς Ταρταρίας. ἦσαν δὲ τοῖς πάλαι ἄγνωστα τὰ ἐνδότερα τῆς Σαρματίας μέρη. Διὸ οὐδὲ οἱ Ἕλληνες, οὐδὲ οἱ Ῥωμᾶνοι κατὰ τῶν Σαρματῶν, ἢ Σαυρομάτων πόλεμον συνεκρότισαν.

§. 456. Τῆς Πολωνίας ὁ μὲν Βασιλεὺς ὑπὸ τῶν εὐπατριδῶν καταλέγεται, τῶν ϗ τὴν ἐξουσίαν αὐτοῦ ὁροθετούντων· ἡ δὲ ἐν αὐτῇ διοίκησις Μοναρχικὴ ἅματε ϗ Ἀριστοκρατική ἐστίν. Ἀριστοκρατία δὲ καλεῖται, ἅπαν τὸ τῆς ἐπικρατείας σῶμα. κατὰ δὲ τὸν τῆς Μεσοβασιλείας καιρὸν, Ἀνθύπατος ϗ τῆς Ἀριστοκρατίας κεφαλή ἐστιν ὁ τῆς Γνέσνης Ἀρχιεπίσκοπος. Ὁ δὲ ἐν αὐτῇ λαὸς, οἷον ἀνδράποδα εἰσι· ϗ γὰρ ὁ ἐλάχιστος τῶν ἐν αὐτοῖς Ἀρχόντων ζωῆς ϗ θανάτου δικαίωμα ἔχει, ἐπὶ τῶν ὑπὸ τὴν ἑαυτοῦ χεῖρα. Οἱ δὲ λεγόμενοι Δισιδέντες, τουτέστι τῆς ὀρθοδόξου τῶν Γραικῶν ἐκκλησίας τὰ τέκνα, ϗ οἱ τὰ τοῦ Λουθήρου θρησκεύοντες δόγματα, εἶχον μὲν ἔκπαλαι τὸ προνόμιον τοῦ ἐν ταῖς Διέταις, τουτέστι ταῖς ὑπὲρ τοῦ κοινοῦ Συνελεύσεσι, συνεδρεύειν, οὗ πρὸ πάνυ δὲ πολλοῦ τούτου στερηθέντες, νῦν πάλιν, διὰ τῆς προστασίας τῆς τρισμεγίστου Αἰκατερίνης τῆς Β΄, τῆς Αὐτοκράτορος πάσης Ῥωσσίας, πανενδόξως ἀπήλαυσαν.

§. 457. Ἔτει ἀπὸ Χριστοῦ 965 τὴν εἰς Χριστὸν πίστιν οἱ Πολῶνοι ὑπεδέξαντο, διδασκάλου αὐτῶν γενομένης τῆς Δοβράβας ἀδελφῆς τοῦ Βολέσλου Δουκὸς τῆς Βοεμίας, ϗ συζύγου τοῦ Μικέσκου, ἢ Μικίσλου Δουκὸς τῆς Πολωνίας, τοῦ ὑπ᾽ αὐτῆς τὴν Εὐσέβειαν διδαχθέντος. (ὁ φλέκρι· ἐν βιβλ. 56. ἀριθ. 13. τοῦ 12. τομ. μή τιγε δὲ κατὰ τὸν αὐτὸν καιρὸν, ϗ τὸ τῶν Μολδάβων γένος

τῇ εἰς Χριςὸν πίςει ἐφωτίσθη;) νῦν δὲ τὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας θρησκεύουσι δόγματα, βαρέως μὲν τῶν ὀρθοδόξων ϗ προτεςάντων ἀνεχόμενοι, ἐπιεικέςερον δὲ τῶν Ἰουδαίων.

§. 458. Εὔτιμοί εἰσιν οἱ τῶν Πολώνων Εὐπατρίδαι, τοῖς ξένοις εὐπρόσιτοι, γενναῖοι, ϗ τῆς ἐλευθερίας αὐτῶν ζηλωταί· ἀπηνεῖς δ᾽ οὖν ὅμως, ϗ σκληρῶς κατὰ τῶν ἀγροτῶν φέρονται. ἕκαςος δὲ τῶν Πολώνων ἤτοι δεσπότης ἐςὶν ἢ ἀνδράποδον, ἤτοι Εὐπατρίδης, ἢ ἀγρότης. ἀχθοφόρων δὲ ζώων οἱ δεύτεροι οὐδὲν διενηνόχασι.

§. 459. Ὁ τῶν οἰκιςῶν τῆς Εὐρυχώρου ταύτης Βασιλείας ἀριθμὸς ἴσος μικροῦ δεῖν 11,000,000· ὧν τακτικὸν ςρατόπεδον 20,000.

§. 460. Διαιρεῖται ἡ Πολωνία εἰς 3 μεγάλα μέρη.

1. Εἰς τὴν Βασιλείαν τῆς Πολωνίας, τὴν περιέχουσαν τὴν μείζονα ϗ ἐλάσσονα Πολωνίαν, ϗ
2. Εἰς τὸ μέγα τῆς Λιθουανίας Δουκάτον, τὸ περιέχον τὴν κυρίως Λιθουανίαν, ϗ τὴν Σαμογιτίαν.
3. Εἰς τὴν Πολωνικὴν Ῥωσσίαν, τὴν ὑποδιαιρουμένην εἰς τὴν κυρίως Ῥωσσίαν, ἢ ἐρυθρὰν Ῥωσσίαν, εἰς τὴν Βολυνίαν, Volhynie, εἰς τὴν Ποδολίαν, ϗ εἰς ἓν τῆς Οὐκραΐνης μέρος. (1)

(1) Μέρος μὲν τῆς Πολωνίας ὁ Βασιλεὺς τῆς Προυσίας· μέρος δὲ τῆς Λιθουανίας ἡ τῆς Ἀουςρίας οἰκία· μέρος δὲ τῆς Πολωνικῆς Ῥωσσίας ἡ Ῥωσσία πρὸ 3 ἐτῶν ἀφείλετο· οὔπω δὲ τὰ τῶν ἀφαιρεθέντων μερῶν ἐτέθη ὅρια.

Τούτοις ἐπισυναπτέον ϗ τὸ τῆς Κουρλανδίας Δουκάτον, ὅπερ δὴ καίπερ αὐτοκρατές, Φέκδον (2) ὅμως ἐπὶ τῆς τῶν Πολώνων Βασιλείας.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΙΔΕΙΑΣ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

(2) Χώρα τὸ Φέȣδον, δωρηθεῖσά τινι, ἐνόρκως ὑποχεθέντι πίςιν τῷ δωρησαμένῳ ϗ ὑπακοήν. (α)

§. 461. Πρωτεύȣσαι ἐν τῇ Πολωνίᾳ πόλεις 14.

Ἐν μὲν τῇ ἐλάσσονι Πολωνίᾳ.

1. Ἡ Κρακοȣΐα, ἢ Κρακοβία, Cracovie, πρωτεύȣσα τῆς ἐλάσσονος Πολωνίας, ϗ μητρόπολις πάσης τῆς τῶν Πολώνων Βασιλείας.
2. Σενδομιρία, Sendomir, ϗ
3. Τὸ Λȣβλινον, Lublin.

Ἐν δὲ τῇ μείζονι Πολωνίᾳ.

4. Ἡ Οὐαρσοȣΐα, Varsovie, ἢ Βασαβία, Varschau, ἐν ᾗ ὁ Βασιλικὸς θρόνος.
5. Γνέσνα, Gnesne, ϗ
6. Ποσνανία, Posnau.

Ἐν δὲ τῇ Λιθȣανίᾳ.

7. Βίλνα, Wilna.
8. Γρόδνος, Grodno, ϗ
9. Βιτεψκία, Witepsk.

Ἐν δὲ τῇ Πολωνικῇ Ῥωσσίᾳ.

10. Λεμβεργία, Lemberg, τῆς Πολωνικῆς Ῥωσσίας πρωτεύȣσα.

Ἐν δὲ τῇ Βολυνίᾳ.

11. Λȣκος, Luko, τῆς Βολυνίας πρωτεύȣσα.

Ἐν δὲ τῇ Ποδολίᾳ.

12. Καμενικία, Kaminiek, τῆς Ποδολίας πρωτεύȣσα, ϗ ὀχυρωτέρα πασῶν τῶν ἐν τῇ Πολωνίᾳ πόλεων, ϗ
13. Βρακλαυΐα, Braklau.

Ἐν δὲ τῇ Κȣρλανδίᾳ.

---

(α) Ὅρα τὴν Σημείωσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΡΧΕΙΟ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ
Ε.Υ. Δ/της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

14. Μιτταυΐα, Mittau, πρωτεύουσα τοῦ Δουκάτου τῆς Κουρλανδίας.

§. 462. Ποταμοὶ δὲ ἐν τῇ Πολωνίᾳ ἐπίσημοι 7.

1. Ὁ Οὐΐςουλας, ἢ Βίςουλας, ὁ τὴν μείζονα καὶ ἐλάσσονα Πολωνίαν ποτίζων.

2. Βάρτας, Warte, ὁ ἐν τῇ μείζονι Πολωνίᾳ.

3. Νιέςερας, ἢ Νιέςερ, Niester, ὁ ἀπὸ τῆς Πολωνικῆς Ῥωσσίας ἐρχόμενος, καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ καταδυόμενος.

4. Βὸγ, Bog, ὁμοίως.

5. Νιέπερ, Nieper, ἢ Δνιέπερ, Dnieper, ὁ καὶ Βορυσθένης εἷς τῶν ἐν τῇ Εὐρώπῃ μεγάλων ποταμῶν, ὁ ἐκβλύζων μὲν ἐκ τῆς δυτικῆς Ῥωσσίας, διὰ δὲ τῆς Πολωνίας εἰς τὸν Εὔξεινον εἰσρέων πόντον.

6 Νιέμεν, Niemen, ὁ καὶ Χρόνος, Chronas, καλούμενος, ὁ ἐν τῇ Λιθουανίᾳ.

7. Δουΐνας, Duina, ἢ Δβίνας, Dwina, ὁ ἐν τῇ Κουρλανδίᾳ.

§. 463. Πεδινὴ οὖσα ἡ Πολωνία, ὄρη οὐ περιέχει· ἀφορίζεται δὲ ἀπὸ τῆς Οὐγγαρίας διὰ τῶν ὀρέων τῶν Καρπάτων, ἢ Κράπακς, Krapacs.

§. 464. Περατοῦται δὲ, κατὰ μὲν Ἀνατολὰς, ὑπὸ τῆς Ῥωσσίας· κατὰ δὲ Μεσημβρίαν ὑπὸ τῆς Εὐρωπαίας, Τουρκίας, καὶ τῆς Οὐγγαρίας· κατὰ δὲ δυσμὰς ὑπὸ τῆς Γερμανίας, κατὰ δὲ Ἄρκτον, ὑπὸ τῆς Προυσίας.

§. 465. Τῶν δὲ ἐπ' εὐθείας ἐκτάσεων αὐτῆς, ἡ μὲν κατὰ μῆκος, ἡ μεγίςη, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν ἴση μιλίοις περίπου 135· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Νότου πρὸς Ἄρκτον 125.

§. 466. Τὸ μὲν Μῆκος τῆς Πολωνίας κεῖται ὑπὸ τὴν



Ε.Υ.Δ της Κ.Υ.Π. ΙΩΑΝΝΙΝΑ 2006

34 μοῖραν, ϗ λήγει εἰς τὴν 50, τὸ δὲ πλάτος ὑπὸ τὴν 49, εἰς τὴν 57·

## Σημείωσις.

Διαίρεσις τῆς Πολωνίας κατὰ τὸ 1793 ϗ 1795·

| Ἐπαρχίαι. | Παλατινάτα. | |
|---|---|---|
| Λιθουανία . . | Κουρλανδία . . . | |
| | Σαμογετία . . . | |
| | Τρόκι βόρειον . . . | |
| | Βίλνα . . . . . | |
| | Πολέτζκ Νότ. . . | |
| | Μίνσκι . . . | |
| | Νοβογροδὲκ . . . | Πολωνία Ῥουσσική |
| | Πολεσία . . . . | |
| Μικρὰ Πολωνία . | Κιοβία . . . . . | |
| | Βολυνία . . . . | |
| | Βράκλαβ . . . . | |
| | Ποδολία . . . . | |
| | Βελὲζ ἀνατολ. . . | |
| | Χέλμ ἀνατολ. . . | |
| | Χὲλμ δυτικ . . . | |
| | Λυβλὶν . . . . . | |
| | Σανδομὶρ . . . . | Πολ. Αὐστριακή |
| | Κρακοβία βόρ. . . | |
| Μεγ. Πολ. Λιθουανία μικρὰ . . | Μαζοβία νότ. . . | |
| | Τρόκι νότ. . . . | |
| | Πολακία . . . . | |
| Μεγάλη Πολωνία | Μαζοβία βόρ. . . | |
| | Πλόκτζο . . . . | |
| | Βρζέσκι . . . . | |
| | Γνέσνε, νότ. . . | Πολ. Προυσσιακή· |
| | Καλίσχ . . . . | |
| | Ποζνανία νότ. . . | |
| | Ῥάνα . . . . . | |
| | Λευκίκζα . . . . | |
| | Σιραδία . . . . | |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Κ΄.

### Περὶ τῆς Οὐγγαρίας καὶ τῶν οἰκιστῶν καὶ στρατιωτικῶν δυνάμενων τῆς Αὐστριακῆς ἐπικρατείας. (I)

§. 467. Οὔτοσοῦτον ὑγιεινὸς ὁ ἐν τῇ Οὐγγαρίᾳ ἀὴρ, ἡ δὲ γῆ λίαν σπερματοφόρος καὶ οἰνοφόρος, (ὁ τοῦ ἐν αὐτῇ Τοκέου, ἢ Τοκάϋ οἶνος κάλλιστος) καὶ τοσοῦτον πλῆθος θηρασίμων τρέφει ζώων, ὥστε ἐξεῖναι θηρᾷν παντὶ τῷ βουλομένῳ. ἔστι δὲ καὶ μεταλλῖτις ἡ γῆ, χρυσὸν, ἄργυρον, κύπριν, ὑδράργυρον, καὶ ἄλλα ἐμπεριέχουσα μέταλλα.

§. 468. Τῆς τῶν Οὔγρων Βασιλείας κατ᾽ ἐκλογὴν πρότερον ὁ Βασιλεὺς προεχειρίζετο· κατὰ δὲ τὸ 1687. ἔτος διάδοχοι τῆς Βασιλείας ἀνεκηρύχθησαν ὑπὸ τῶν τῆς ἐπικρατείας Διοικητῶν, ἐν τῷ Πρεσβούργῳ συναθροισθέντων οἱ ἐκ τοῦ Αὐστρικοῦ οἴκου καταγόμενοι. Ἔστιν οὖν ἡ ἐν τῇ Οὐγγαρίᾳ διοίκησις μοναρχικὴ, περιορίζεται δὲ ἡ Βασιλικὴ ἐξουσία ὑπὸ τῶν τῆς ἐπικρατείας διοικητῶν.

§. 469. Κυριεύει μὲν ἐν τῇ Οὐγγαρίᾳ τὸ Ῥωμαϊκὸν θρήσκευμα· ἐπεὶ δὲ πλῆθος πολὺ προτεστάντων ἐκεῖ κατοικεῖ....

§. 470. Εἰσὶ δὲ οἱ Οὔγροι, Εὔσωμοι, ἀπηνεῖς, ἐπιχειρηματίαι, ἐκδικητικοὶ, καὶ πολεμικοὶ μᾶλλον, ἢ ἐμπορικοὶ καὶ τεχνῖται.

§. 471. Τῶν μὲν τὴν Οὐγγαρίαν οἰκούντων ὁ ἀριθμὸς ἄνεισιν ἐπὶ τὸ 1,000,000. (7,000,000·) τῶν δὲ τὴν Βοεμίαν ἐπὶ τὰ 2,000,000· τῶν δὲ λοιπῶν ἐπαρχιῶν τῶν ὑπὸ τὸ τῆς Αὐστριακῆς οἰκίας Κράτος, πλεῖον ἢ 6,000,000.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

§. 472. Τὸ δὲ τοῦ κραταιοῦ τούτου οἴκου, εἴτουν τοῦ Αὐστριακοῦ τὸ στρατόπεδον ἴσον εἶναι τὴν σήμερον νομίζουσι χιλιάσι περίπου 200. (α)

§. 473. Διαιρεῖται ἡ Οὐγγαρία εἰς Βασιλείας 6, καὶ Πριγκιπάτον 1. (β)

1. Εἰς την Βασιλείαν τῆς Οὐγγαρίας, de Hongrie, τῆς ὑποδιαιρουμένης εἰς ἀνωτέραν καὶ κατωτέραν Οὐγγαρίαν.
2. Εἰς τὸ Πριγκιπάτον τῆς Τρανσιλβανίας, Transilvanie.
3. Εἰς τὴν Βασιλείαν τῆς Σκλαβονίας, d' Esclavonie.
4. Κροατίας, Croatia, τῆς τὸ πάλαι Λιβυρνίας καλουμένης.
5. Εἰς τὴν Βασιλείαν τῆς Βόσνης, Bosnie, ἢ Βοσσινῆς, ἢ Πόθνης. (γ)
6. Εἰς τὴν Σερβίας, (δ) Servie, καὶ
7. — Δαλματίας.

§. 474. Πρωτεύουσαι ἐν τῇ Οὐγγαρίᾳ πόλεις 17.

Ἐν μὲν τῇ ἀνωτέρᾳ Οὐγγαρίᾳ.

1. Τὸ Πρέσβουργον, Prosbourg, ἢ Ποσόνιον, μητρόπολις πάσης τῆς Βασιλείας, ἐξόχως δὲ τῆς ἀνωτέρας Οὐγγαρίας.
2. Πέστον, Pest, ἢ Πεστῖνον.
3. Σεγέδινον, Segedin.
4. Μέγα Βαραδῖνον, Grand-Waradin, καὶ
5. Ἡ Τεμεσβαρία, Temeswar.

---

(α) Τὰ νῦν δὲ ἀνέισι 350,000· ἐξ ὧν 100,000 ἔχει ἀπὸ τὴν Οὐγγαρίαν.

(β) Ὅρα τὴν Σημείωσιν.

(γ) Ὑπόκειται τῇ Τουρκίᾳ.

(δ) Ὁμοίως εἰς τοὺς Τούρκους.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐν δὲ τῇ κατωτέρᾳ Οὐγγαρίᾳ,

6. Ἡ Βȣ̃δα, Buden, τῆς κατωτέρας Οὐγγαρίας πρωτεύȣσα, ϗ

7. Ἡ Στριγονία, Strigonie, ἢ Γράνον, Gran.

Ἐν δὲ τῇ Τρανσιλβανίᾳ,

8. Τὸ Ἑρμανςάδιον, Hermanstad, ἢ Ἑρμανȣ́πολις, ἢ Κιβίνιον, ἢ Σιμπὶν, ϗ

9. Κολοσβάριον, Coloswar, ἢ Κλαȣσένβȣργον, Clausenbourg, ἢ Κλαυδιȣ́πολις.

Ἐν δὲ τῇ Σλαβονίᾳ.

10. Ἡ Ἐσσεκία, Essek, ἡ τὸ πάλαι Μȣ̃ρσα, ἢ Μȣρσία καλȣμένη, ϗ

11. Τὸ Πετροβαράδινον, Peterwaradin.

Ἐν δὲ τῇ Κροατίᾳ,

12. Τὸ Καρλοςάδιον, Carlestad, ἢ Καρλόβιτζα, Carlowitz, ϗ

13. Ἡ Βιανιζία, Bihanz.

Ἐν δὲ τῇ Βόσνῃ,

14 Τὸ Σαράϊον, Sarajo, ἢ Σεράϊ, Sérai, πόλις ὑπὸ τȣ̀ς Τȣ́ρκȣς, ϗ τῆς Βόσνας πρώτη.

Ἐν δὲ τῇ Σερβίᾳ,

15. Ἡ Βελγράδα, Belgrade, ἢ Βελιγράδι, ἡ νομιζομένη παλαιὰ Ἄλβα Γραῖκα, ϗ

16. Νῆσσα, Nisse, ἢ Νέσος, ἢ Νησὶς, ἢ Νῆσι.

Ἐν δὲ τῇ Δαλματίᾳ,

17. Τὸ Ῥαγȣ́σιον, Raguse, μικρά τις ἀριςοκρατία ὑποτελὴς τοῖς Τȣ́ρκοις.

§. 475. Ποταμοὶ δὲ τὴν Οὐγγαρίαν ποτίζοντες ἐπίσημοι 6.

1. Ὁ Δȣνάβιος, Danube, ὁ τὴν ἀνωτέραν τῆς κατωτέρας Οὐγγαρίας ἀφορίζων.

2. Ὁ Δρᾶυος, Drave, ὁ μεταξὺ τῆς Οὐγγαρίας καὶ Σλαβονίας, ὁ ϗ τῷ Δανυβίῳ συνενέμενος,
3. Σᾶυος, Save, ὁ τὴν Κροατίαν ϗ Βόσνην ποτίζων ϗ κατὰ τὴν Βελγράδαν τῷ Δανυβίῳ συμπίπτων,
4. Τεῖσσας, ἢ Τίσσας, Theisse, ὁ τὴν ἀνωτέραν ποτίζων Οὐγγαρίαν, ϗ τῷ αὐτῷ Δανυβίῳ συμβάλλων ϗ
5. Μάρος, Maros, ἢ Μόρος, ἢ Μάρχος, ὁ τὴν Τρανσιλβανίαν ποτίζων.

§. 476. Ἔχει δὲ ϗ ὄρη ἡ Οὐγγαρία πολλὰ, ὧν ἐπισημότερα τὰ ἐν τοῖς ἀρκτῴοις ὁρίοις αὐτῆς κείμενα, τὰ ἀπὸ τῆς Πολωνίας αὐτὴν ἀφορίζοντα, ϗ Κραπάκς καλούμενα.

§. 477. Περατοῦται δὲ ἡ τῆς Οὐγγαρίας Βασιλεία, κατὰ μὲν Ἀνατολὰς, ὑπὸ τῆς Εὐρωπαίας Τουρκίας, κατὰ δὲ Μεσημβρίαν ὑπὸ τῆς αὐτῆς Τουρκίας, ϗ τοῦ Ἀδριατικοῦ κόλπου· κατὰ δὲ Δυσμὰς, ὑπὸ τῆς Γερμανίας, κατὰ δὲ Ἄρκτον, ὑπὸ τῆς Πολωνίας.

§. 478. Τῶν ἐπ᾽ εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν ἀπὸ Ἀνατολῆς πρὸς δύσιν, ἴση μιλίοις 120· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον, περίπου 112.

§. 479. Τὸ μὲν Μῆκος αὐτῆς ἄρχεται μετὰ τὴν 33 μοῖραν, λήγει δὲ εἰς τὴν 45· τὸ δὲ πλάτος μετὰ τὴν 43, εἰς τὴν 50.

## Σημείωσις.

(1) *Νεωτέρα κατάστασις τῶν ὑπὸ τῆς Αὐστριακῆς δυνάμεως ὑποκειμένων τόπων.*

| Ἔκτασις. | | | Θέσις. |
|---|---|---|---|
| κατὰ μῆκος | 200 μίλ. | μεταξὺ | 45° ϗ 53° τοῦ πλάτους. |
| κατὰ πλάτος | 180 | τοῦ | 33 ϗ 44 τοῦ μήκους. |

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΔΙΑΙΡΕΣΙΣ.

| Ἐπαρχίαι. | Πρωτεύουσαι πόλεις. |
|---|---|
| Ἀνωτέρα Οὐγγαρία | Πρέσβουργ. |
| Κατωτέρα Οὐγγαρία | Βούδιμ. |
| Βανάτ | Τέμισβαρ. |
| Σλαβονία | Πόσσεγα. |
| Κροατία | Ζάγραβ. |
| Δαλματία Αὐστρ. | Σέγνα. |
| Δαλματία Βενετ. | Τζάρα. |
| Τρανσιλβανία | Ἑρμάνσταδτ. |
| Βουκοβίνα | Τζέρνοβιτζ. |
| Γαλλίτζια δυτικ. | Λέμβεργ. |
| Γαλλίτζια ἀνατ. | Κρακοβιά. |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ´.

## Περὶ τῆς Εὐρωπαίας Τουρκίας. (Κ)

§. 480. Εὔκρατος μὲν ὁ ἐν τῇ Τουρκίᾳ ἀὴρ, λίαν δὲ καρποφόρος ἡ γῆ, τελειοτέρας μόνον χρήζουσα γεωργίας, ὅπως ἂν πολυπληθῆ, ϗ πολλαπλάσια ἀποδῷ σπέρματα, ϗ οἶνον, ϗ ὀπώρας, ϗ παντοῖα καρπῶν εἴδη.

§. 481. Ὁ καλούμενος Σουλτὰν, ὑπὸ δὲ τῶν Εὐρωπαίων, grand Seigneur, εἴτουν μέγας Δεσπότης, κύριός ἐστι τῆς Τουρκίας αὐτονόμος τε ϗ αὐτοκέφαλος, ἐξουσίαν ἔχων ἀπόλυτον τῆς ζωῆς, ϗ τῶν κτημάτων τῶν ὑπηκόων αὐτοῦ, τῶν ἀπὸ γεννήσεως αὐτῶν ὥσπερ δούλων λογιζομένων. ἐκ δὲ τῶν δύω τούτων ὑπερβολῶν, τῆς ὑπερβολικῆς φημὶ ἐξουσίας, ϗ τῆς καθ᾽ ὑπερβολὴν δουλείας, πυκναὶ προκύπτουσι στάσεις, ἐν αἷς εἴδειν συνέβη τὴν τοῦ δεσπόζοντος ζωὴν τίμημα τῆς τοιᾶσδε ἀ-

ΙΩΑΝΝΙΝΑ 2006 Κ.τ.Ι.